τὸν ἐν λέχει προδόταν, κακόνυμφον.
θεοκλυτεῖ δ' ἄδικα παθοῦσα,
τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
δι' ἅλα νύχιον,
ἐφ' ἁλμυρὰν πόντου
κλῇδ' ἀπέραντον.

## ΙΑΜΒΟΙ.

μὴ Κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων,
„ Μή μοί τι μέμψησθ'. οἶδα γὰρ πολλοὺς βροτῶν
„ σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
„ Τοὺς δ' ἐν θυραίοις. οἱ δ' ἀφ' ἡσύχου ποδὸς
„ δύσκλειαν ἐκτήσαντο, καὶ ῥᾳθυμίαν.
„ Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.
„ Ὅς τις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σα-
„ Στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος. [φῶς.
„ Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
„ Οὐδ' ἀστὸν ᾔνεσ', ὅστις αὐθάδης γεγὼς,
„ Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
ψυχὴν διέφθαρκ'. οἴχομαι δὲ, καὶ βίου
χάριν μεθεῖσα, κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.